propterea δρύφακτα dicta.

Σχ. Ω Λύκε δέσποτα] παρὰ τοῖς δικαστηρίοις τὸ τοῦ Λύκου ἱερὸν ἦν καὶ ἡρῷον. ὅθεν φασὶν εἰρῆσθαι, Λύκου δεκάς. ἄλλως. Λύκου ἡρῷον πρὸς τῷ δικαστηρίῳ ἦν. ᾧ ἐμέριζον ὅτε δικαστήρια ἦν, τὸ παρὰ τοῖς λαχοῦσι τῶν Ἀθηναίων δικάζειν, δικαστικὸν μισθὸν τριώβολον. Παρὰ τὸν κλάοντα καθῆσθαι] ὡς τῶν καταδικασθέντων εὐθὺς παρὰ τὸ ἡρῷον κλαιόντων. εὐφημότερον δὲ λέγουσιν, ἀντὶ τοῦ κλάων καθῆσο. B Κάννας] τὰς ψιάθους. λέγεται δὲ καὶ κάννης καὶ κλίνεται τοῦ κάννητος. ὡς ψιάθοις δὲ περιπεφραγμένου τοῦ ἡρῴου καὶ ἐστεγασμένου φησὶν οὐ παρὰ κάννας οὐρήσω. τουτέστιν οὐκ ἐνυβρίσω τοῦτο ἡρῷον ἀλλὰ τιμήσω.

CHR. Ω Λύκε] Lyci herois effigies quæ & ἡρῷον dicta, stabat in foro, vbi tribuebant & partiebãtur sportulam vel mercedem trioboli iudicibus sorte A electis debitam: atq; inibi decem olim viri vel sycophantæ conueniebant, vnde prouerbium Λύκου δεκάς, quod referunt ad decada numerum, sed fortassis quia respicit δωροδόκους dicta est δεκάς ἀπὸ τοῦ δεκάζειν vel ἀπὸ τοῦ δικάζειν, vt sint Lyci δίκαι. Παρὰ τὸν κλάοντα] Imò damnati plorantes sedent ad Heroum, sed voluit εὐφημότερον, & Lycum ait voluisse sedere iuxta miseros & mœrentes. Σῶσόν νυν] Pro- B pter metrũ lege σὺ νυνὶ vel puta νυνὶ spondæi esse. Παρὰ τὰς κάννας] Quia τὸ ἡρῷον septũ erat cãni & tegetib. vbi liberè meiere & pedere solebãt ipsimet iudices, promittit se porrò cautius acturũ & venerabiliorẽ sibi fore illã sedẽ Lyci. κάννη vel κάννα Latinè cãna, sed & notant Grammatici κάννητα dici à κάννης vnde κανηφόρος; nam κάνης & κάννης eidem.

C

## ΒΔΕΛΥΚΛΕΩΝ, ΟΙΚΕΤΗΣ, ΦΙΛΟΚΛΕΩΝ, ΧΟΡΟΣ.

## BDELYCLEON, SERVVS, PHILOCLEON, CHORVS.

BISETVS. Βδελυκλέων φωνῆς τινὸς ἀκούσας τοὺς δούλους ἐξεγείρει, ὅπως τὸν πατέρα ἤδη φεύγοντα ἀνέλκωσι, καὶ ἐν ἀκριβεστέρᾳ φυλακῇ κατέχωσι.

Βδε. Οὗτος, ἐγείρου. Οἰ. τί τὸ πρᾶγμ'. Βδε. ὥσπερ φωνή με τις ἐγκεκύκλωται.

Οἰ. Μῶν ὁ γέρων πῃ διαδύεται; Βδε. μὰ Δί' οὐ δῆθ' ἀλλὰ καθιμᾷ

D Αὑτὸν δήσας. Οἰ. ὦ μιαρώτατε. τί ποιεῖς, οὐ μὴ καταβήσει;

Βδε. Ἀνάβαιν' ἀνύσας κατὰ τὴν ἑτέραν, καὶ ταῖσι φυλλάσι παῖε.

Ην πως πρύμναν ἀνακρούσηται, πληγεὶς ταῖς εἰρεσιώναις.

Οὐ ξυλλήψεσθ' ὁπόσοις δίκαι τῆτες μέλλουσι ἔσεσθαι;

Φι. Ω Σμικυθίων καὶ Τισιάδη καὶ Χρήμων, καὶ Φερέδειπνε.

E Πότε δ' εἰ μὴ νῦν ἐπαρήξετέ μοι, πρίν μ' εἴσω μᾶλλον ἄγεσθαι;

BD. HEus expergiscere tu. SE. Quid enim? BD. mihi vox circum accidit aures.

SE. Num fortè senex aliquà subiens fallit? BD. Quin se ipse ligatum

Demittere volt. SE. Nequißime, quid facis? húcne repentè redibis?

BD. Ascende aliam in partem, ramisq; feri frondentibus illum

Si sic remos inhibere velit, virgis pulsatus ab illis.

PH. Non fertis opem mihi quotquot in hoc anno causas habituri?

O Smicuthion & Tisiade & Chremon & Pheredipne.

Prius intrò quàm retrahar? misero mihi nec succurrere voltis?

Σχόλια. Ἀνάβαιν' ἀνύσας.] τῷ οἰκέτῃ φησὶ διὰ τοῦ ἑτέρου μέρους ἀνάβαινε. Καὶ ταῖσι φυλλάσι.] ἐπεὶ κλάδοις παρακελεύεταί τισι παίειν αὐτὸν τοῖς πρὸ τῆς οἰκίας, διὰ τοῦτο ταῖς εἰρεσιώναις εἶπε. τὸ δὲ πρύμναν κρούσασθαι φασί τινες λέγεσθαι, ὅταν μετακαθίσαντες οἱ ἐρέται, ἐλαύνοιεν ὀπίσω ἐπὶ τὴν πρύμναν, ὅταν εἰς λιμένα F εἰσέρχωνται. ἵνα τὴν πρύμναν εἰς γῆν ἔχωσι νεύουσαν, καὶ τὴν πρῷραν ἔξω. ὅπως ἄνευ τροπῆς εἴη εἰς ἔξοδον ἡ ναῦς. τοῦτο οὖν φησι. παῖε αὐτὸν τοῖς κλάδοις, ὅπως ἀνακρούσηται τὴν πρύμναν. τουτέστιν εἰς τοὐπίσω ἀναδράμῃ. ἀνακρούειν γάρ ἐστι τὰς κώπας, τὸ ἐπέχειν τοῦ δρόμου τοῦ εἰς τὸ ἔμπροσθεν τὴν ναῦν. εἰρεσιώναις δὲ ἁπλῶς τοῖς ξηροῖς κλάδοις.

BISETVS. Πρύμναν ἀνακρούσηται.] πρύμναν ἀνακρούειν, καὶ πρύμναν κρούειν, ὡς ἐν τοῖς Θουκυδίδου σχολίοις παραδέδοται, ἐστὶ τὸ κατ' ὀλίγον ἀναχω- G ρεῖν μὴ στρέψαντα τὸ πλοῖον. ὁ γὰρ οὕτως ἀναχωρῶν, ἐπὶ τὴν πρύμναν κωπηλατεῖ. τοῦτο δὲ ποιοῦσιν, ἵνα μὴ δόξωσι φανερῶς φεύγειν οὕτω κατ' ὀλίγον ἐπανιόντες. ἢ ἵνα μὴ τὰ νῶτα τοῖς πολεμίοις δόντες ῥᾷον τιτρώσκωνται. ἀλλ' ἐνίοτε, ὡς καὶ νῦν, ταῦτα μεταφορικῶς λέγεται περὶ τῶν ἁπλῶς ἀναχωρούντων, καὶ ἀπό τινος ἐγχειρήσεως ἀφισταμένων.

CHRIST. Πρύμναν ἀνακρούσηται.] Baifius notat ex Liuio & aliis bonis auctoribus, πρύμναν κρούσασθαι esse remum inhibere, vel inhibere simpliciter, aliquando ῥυμουλκεῖν remulco trahere, hic nihil aliud est, quàm nauem repellere in posticam partem, quòd sæpè faciunt remiges vt portum appellant, aut oræ alicui applicent, scilicet vt puppem habeant terræ propinquam & intra littus, proram autem versus mare. Hic ergo ait, feri ipsum ramis siccis (sic vocat εἰρεσιώνας) vt retro per sua vestigia regrediatur & recurrat. Οὐ ξυλλήψεσθ' ὁπόσοις] Puto hic loqui Philocleonis personã, sed legendum vt constet metri ratio, ὁπόσοισι, mox vbi habes, πότε δ' εἰ μὴ ἐπαρήξετε, quoniam deest syllaba ad metri supplementum, lege εἰ μὴ νῦν cũ Venet. edit. Tamen, mentem Comici propius rimanti, videtur mihi potius legendum εἰ μὴ νῦν, Quando, inquit, mihi succurretis, si non nunc, priusquam intro ire magis cogar?